**ἀπολελυμένον ποίημα**

Hephaest. 59. 11 sqq. <καὶ τὰ μέν (*scil.* ποιήματα) ἐστι> κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα, τὰ δὲ ἐξ ὁμοίων, τὰ δὲ μετρικὰ ἄτακτα, τὰ δὲ μικτά, τὰ δὲ κοινά.

Hephaest. 60. 9 sq. μικτὰ δὲ (*scil.* τὰ ποιήματα) ὅσα μέρος μέν τι ἔχει κατὰ σχέσιν, μέρος δέ τι ἀπολελυμένον ἢ ἐξ ὁμοίων.

Hephaest. 64. 18 sqq. τῶν δὲ (*scil.* ποιημάτων) κατὰ συστήματα γεγραμμένων τὰ μέν ἐστι κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα ... ἀπολελυμένα δέ, ἃ εἰκῇ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου, οἷοί εἰσιν οἱ νόμοι οἱ κιθαρῳδικοὶ Τιμοθέου.

Hephaest. 69. 4 sqq. δεδειγμένου δὲ ἡμῖν τίνα ἐστὶ τὰ ἀπολελυμένα (*scil.* ποιήματα), φαμὲν εἴδη τούτων εἶναι τά τε ἄστροφα καὶ τὰ ἀνομοιόστροφα καὶ ἄτμητα. ἄστροφα μὲν οὖν ἐστι τὰ τηλικούτου μεγέθους ὄντα [ἐπ᾽ ἐλάχιστον], ὡς μηδὲ στροφῆς ὅλης εἶναι αὐτὰ ὑπονοητικά. ἀνομοιόστροφα δέ ἐστιν, ὅσα πάντως διαιρεῖται ἢ κατὰ πρόσωπον ἀμοιβαῖον ἢ χοροῦ πρὸς ὑποκριτὴν ἀπόκρισιν ἢ κατὰ ἐφύμνιον ἢ κατὰ ἐπῳδὸν ἢ κατ᾽ ἄλλο τι ἀναφώνημα. διαιρεῖται δὲ ἤτοι εἰς δύο ἢ εἰς πλείω· ἐὰν μὲν οὖν εἰς δύο διαιρεθῇ, καλεῖται ἑτερόστροφον, ἐὰν δὲ εἰς πλείονα, ἀλλοιόστροφον. ἄτμητα δέ ἐστι τὰ τηλικαῦτα, ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τι τεκμήριον ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκαταληξίαν μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποιήματα, οἷον ἐφύμνιον ἢ ἀναφώνημα.

Hephaest. 72. 17 sqq. τὰ δὲ εἴδη τῆς παραβάσεώς ἐστι ταῦτα· κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς ὠνομάσθη· φησὶ γὰρ ὁ Εὔπολις· (fr. 396 [PCG V, p. 517] Kassel-Austin)

εἰωθὸς τὸ κομμάτιον τοῦτο·

δεύτερον δὲ εἶδός ἐστιν ἡ ὁμωνύμως τῷ γένει καλουμένη παράβασις· καὶ τρίτον τὸ μακρὸν προσαγορευόμενον, ὅ καί φαμεν εἶναι ἐπιμηκέστερον· οὐ μὴν ἀλλὰ καὶ διὰ τὸ ἀπνευστὶ λέγεσθαι ἐδόκει εἶναι μακρότερον. ταῦτα μὲν οὖν ἐστιν ἀπολελυμένα.

Hephaest. 75. 19 sqq. τῆς δὲ παραβάσεως μερῶν ὄντων ἑπτά, ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ· οὐδὲν ἧττον δὲ καὶ ἐπὶ τοῦ μέλους καὶ τοῦ ἐπιρρήματος, ἂν μηδὲν ἀνταποδιδῶται.

Arist. Qvint. *de mus.* I 29 (p. 52. 8 sqq. Winnington-Ingram) τὸ δ᾽ ἐκ τῶν μέτρων εὐπρεπὲς σύστημα καλεῖται ποίημα … καὶ τούτων τὰ μὲν ἀπολελυμένα, τὰ δὲ κατὰ σχέσιν, ἀπολελυμένα μὲν ὡς παρὰ τοῖς κωμικοῖς αἱ παραβάσεις, κατὰ σχέσιν δὲ ὡς τὰ ἀντιστρέφοντα.

Tzetz. *de metr. Pind.* 15. 26 sqq.

πάλιν τὰ τοῦ συστήματος (*scil.* ποιήματα), τὰ μέντοι κατὰ σχέσιν,
τὰ μετρικὰ δὲ ἄτακτα ἄλλο ἐστί τι μέρος,
τά δ᾽ ἀπολελυμένα τε, τά δ᾽ εἰσὶν ἐξ ὁμοίων·
τὰ γὰρ κοινόμικτα τὰ νῦν ἀφίημί σοι λέγειν.

Tzetz. *de metr. Pind.* 16. 14 sqq.

ἅπερ δὲ γέγραπται εἰκῇ καὶ μέτροις ἀορίστοις,

οὐκ ἔχοντος τοῦ ἐν αὐτοῖς μέτρου τινά περ ὅρον,
ὡς νόμους κιθαρῳδικοὺς φασὶ τοῦ Τιμοθέου,
ταῦτα (*scil.* ποιήματα) φασὶν ἀπόλυτα, ταῦτ᾽ ἀπολελυμένα.

SCHOL. REC. in Aristoph. *nub*. 510c (p. 80. 22 sqq. Koster) Ἡφαιστίων γάρ (p. 75. 19 sqq.) φησιν, ὅτι τῆς παραβάσεως μερῶν ὄντων ἑπτὰ ἐπὶ ἓν ἕκαστον τῶν ἀπολελυμένων τριῶν τίθεται ἡ παράγραφος, τοῦ κομματίου καὶ τῆς παραβάσεως καὶ τοῦ μακροῦ.

SCHOL. A in Hephaest. 168. 6 sqq. οὔτε δὲ [τὰ ἀπολελυμένα (*scil.* ποιήματα)], φησίν, ἀνακύκλησιν ἔχει, ἀλλ᾽ αὐτόθεν ἐστὶν ὁμολογούμενα, οἷον τὸ Σιμωνίδου ἐπίγραμμα· (*EG* 52. 1 Page)

Ἴσθμια δίς, Νεμέᾳ δίς.

δακτυλικὸν γὰρ ἐξάμετρον καὶ ἐλεγεῖον καὶ ἴαμβος, οὔτε κατὰ στίχον καὶ ὅμοια ἀλλήλοις, οὔτε κατὰ σχέσιν ἀνταποδιδόμενα.

SCHOL. A in Hephaest. 169. 14 sqq. μικτὰ μὲν (*scil.* τὰ ποιήματα) οὖν ἐστίν, ἃ παραβάσεις ἔχουσι τὰ τρία ᾄσματα <ἀπολελυμένα>, τὰ <δὲ> τέσσαρα ἐν σχέσει.

SCHOL. B in Hephaest. 263. 13 sqq. τῶν δὲ (*scil.* ποιημάτων) κατὰ σύστημα γεγραμμένων τὰ μὲν κατὰ σχέσιν, τὰ δὲ ἀπολελυμένα ... ἀπολελυμένα δὲ γέγραπται καὶ ἄνευ μέτρου ὡρισμένου. [*S.D.B.*]